ταῦτα θυμόμαντις ὤν σοι πρευμενῶς παρήνεσα·
εὖ δὲ πανταχῇ τελεῖν σοι τῶνδε κρίνομεν πέρι.
ΑΤ. ἀλλὰ μὴν εὔνους γ᾽ ὁ πρῶτος τῶνδ᾽ ἐνυπνίων κριτὴς
παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδ᾽ ἐκύρωσας φάτιν.
ἐκτελοῖτο δὴ τὰ χρηστά· ταῦτα δ᾽, ὡς ἐφίεσαι,
πάντα θήσομεν θεοῖσι τοῖς τ᾽ ἔνερθε γῆς φίλοις,
εὖτ᾽ ἂν εἰς οἴκους μόλωμεν. κεῖνα δ᾽ ἐκμαθεῖν θέλω,
ὦ φίλοι· ποῦ τὰς Ἀθήνας φασὶν ἱδρῦσθαι χθονός;
ΧΟ. τῆλε πρὸς δυσμαῖς ἄνακτος Ἡλίου φθινασμάτων.
ΑΤ. ἀλλὰ μὴν ἵμειρ᾽ ἐμὸς παῖς τήνδε θηρᾶσαι πόλιν.
ΧΟ. πᾶσα γὰρ γένοιτ᾽ ἂν Ἑλλὰς βασιλέως ὑπήκοος.
ΑΤ. ὧδέ τις πάρεστιν αὐτοῖς ἀνδροπλήθεια στρατοῦ;
ΧΟ. καὶ στρατὸς τοιοῦτος ἔρξας πολλὰ δὴ Μήδους κακά.
ΑΤ. καὶ τί πρὸς τούτοισιν ἄλλο; πλοῦτος ἐξαρκὴς δόμοις;
ΧΟ. ἀργύρου πηγή τις αὐτοῖς ἐστι, θησαυρὸς χθονός.
ΑΤ. πότερα γὰρ τοξουλκὸς αἰχμὴ διὰ χερὸς αὐτοῖς πρέπει;
ΧΟ. οὐδαμῶς· ἔγχη σταδαῖα καὶ φεράσπιδες σαγαί.
ΑΤ. τίς δὲ ποιμάνωρ ἔπεστι κἀπιδεσπόζει στρατῷ;
ΧΟ. οὔτινος δοῦλοι κέκληνται φωτὸς οὐδ᾽ ὑπήκοοι.
ΑΤ. πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας;
ΧΟ. ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατόν.

224. θυμόμαντις: οὐ φύσει μάντις, ἀλλ᾽ ὑπὸ λογισμοῦ κρίνων καὶ ὑπὸ ἐνθυμήσεως. 226. ἀλλὰ μὴν εὔνους: ἀντὶ τοῦ σὺ πρῶτος ἀκούσας τοῦ ὀνείρου εὐνοϊκῶς συνεβούλευσας ἐξιλεώσασθαι οὐρανίους (καὶ add. Dindorfius) χθονίους δαίμονας. 227. τὸν ὄνειρον. 228. ἐκτελοῖτο δὲ τὰ χρηστά: ἡ ἐξιλέωσις εἰς ἀγαθὸν ἀποβαίη. 232. φθινασμάτων: τῶν λήξεων, τῶν δυσμῶν, ἢ τῶν δύσεων, ἢ τῶν ἐκλείψεων· ὅτε γὰρ δύει ὁ ἥλιος, ἐκλείπει. ἔνθεν καὶ λίψ ὁ ἄνεμος ἀπὸ δυσμῶν. 234. εἰ ληφθείησαν αἱ Ἀθῆναι. 236. ἔρξας πολλά: τῆς ἐν Μαραθῶνι πεζομαχίας μέμνηται. 238. τὰ ἐν τῇ Ἀττικῇ. ἀργύρου πηγή: ἐν Θορικῷ γάρ ἐστι μέταλλα καὶ ἐν Λαυρίῳ. 239. τοξικὴ βολή. 240. ἔγχη σταδαῖα: ἐκ τοῦ συστάδην μαχόμενα, οἷον συστάδην μάχονται. τοὺς γὰρ ἐκ διαστημάτων μαχομένους κατηυτέλιζον. 243. .μὴ ἔχοντες τὸν ἐφεστηκότα.

---

226. paragrapho notat M. 228. δὴ recc.: δὲ M. 233—246. solas paragraphos adscriptas habent in M. 236. Fort. οὔ· στρατὸς δ᾽ οἷός ποτ᾽ ἔρξας. 239. χεροῖν Elmsleius.